καὶ οὗ τὸ ποιητικὸν μεῖζον, ὡσαύτως· εἰ γὰρ τὸ ὑγιεινὸν αἱρετώτερον τοῦ ἡδέος, καὶ μεῖζον ἀγαθὸν, καὶ ἡ ὑγίεια τῆς ἡδονῆς μείζων. καὶ τὸ αἱρετώτερον καθ' αὑτὸ, τοῦ μὴ καθ' αὑτό· οἷον, ἰσχὺς, ὑγιεινοῦ· τὸ μὲν γὰρ, οὐχ αὑτοῦ ἕνεκα· τὸ δὲ, αὑτοῦ, ὅπερ ἦν τὸ ἀγαθόν. κἂν ᾖ, τὸ μὲν τέλος, τὸ δὲ μὴ τέλος· τὸ μὲν γὰρ, ἄλλου ἕνεκα· τὸ δὲ, αὑτοῦ· οἷον, τὸ γυμνάζεσθαι, τοῦ εὖ ἔχειν τὸ σῶμα. καὶ τὸ ἧττον προσδεόμενον θατέρου, ἢ ἑτέρων· αὐταρκέστερον γάρ· ἧττον προσδεῖται τὸ ἐλαττόνων ἢ ῥᾳόνων προσδεόμενον. καὶ ὅταν, τόδε μὲν ἄνευ τοῦδε μὴ ᾖ, ἢ μὴ δυνατὸν ᾖ γενέσθαι, θάτερον δὲ ἄνευ τούτου· αὐταρκέστερον δὲ τὸ μὴ δεόμενον· ὥστε φαίνεται μεῖζον ἀγαθόν. κἂν ᾖ ἀρχὴ, τὸ δὲ μὴ ἀρχή. κἂν ᾖ αἴτιον, τὸ δ' οὐκ αἴτιον, διὰ τὸ αὐτό· ἄνευ γὰρ αἰτίου καὶ ἀρχῆς, ἀδύνατον εἶναι, ἢ γενέσθαι. καὶ δυοῖν ἀρχαῖν, τὸ ἀπὸ τῆς μείζονος ἀρχῆς, μεῖζον. καὶ δυοῖν αἰτίοιν, τὸ ἀπὸ τοῦ μείζονος αἰτίου, μεῖζον. καὶ ἀνάπαλιν δὲ, δυοῖν ἀρχαῖν, ἡ τοῦ μείζονος ἀρχὴ, μείζων· καὶ δυοῖν αἰτίοιν, τὸ τοῦ μείζονος αἴτιον, μεῖζον. δῆλον οὖν ἐκ τῶν εἰρημένων, ὅτι ἀμφοτέρως μεῖζόν ἐστι φαίνεσθαι· καὶ γὰρ εἰ ἀρχὴ τόδε, τὸ δὲ μὴ ἀρχὴ, δόξει μεῖζον εἶναι. καὶ εἰ μὴ ἀρχὴ, τὸ δὲ, ἀρχή· τὸ γὰρ τέλος, μεῖζον, καὶ οὐκ ἀρχή· ὥσπερ ὁ Λεωδάμας κατηγορῶν ἔφη Καλλιστράτου, τὸν βουλεύσαντα τοῦ πράξαντος μᾶλλον ἀδικεῖν. οὐ γὰρ ἂν πραχθῆναι μὴ βουλευσαμένου· πάλιν δὲ καὶ Χαβρίου, τὸν πράξαντα τοῦ βουλεύσαντος· οὐ γὰρ ἂν γενέσθαι, εἰ μὴ ἦν ὁ πράξων· τούτου γὰρ ἕνεκα ἐπιβουλεύουσιν, ὅπως πράξωσι. καὶ τὸ σπανιώτερον τοῦ ἀφθόνου· οἷον, χρυσὸς σιδήρου, ἀχρηστότερος ὤν· μείζων γὰρ ἡ κτῆσις, διὰ τὸ χαλεπωτέραν εἶναι. ἄλλον δὲ τρόπον, τὸ ἄφθονον τοῦ σπανίου, ὅτι ἡ χρῆσις ὑπερέχει· τὸ γὰρ πολλάκις, τοῦ ὀλιγάκις ὑπερέχει· ὅθεν λέγεται, ἄριστον μὲν ὕδωρ. καὶ ὅλως τὸ χαλεπώτερον τοῦ ῥᾴονος· σπανιώτερον γάρ. ἄλλον δὲ τρόπον, τὸ ῥᾷον τοῦ χαλεπωτέρου· ἔχει γὰρ ὡς βουλόμεθα. καὶ ᾧ τὸ ἐναντίον μεῖζον. καὶ οὗ ἡ στέρησις μείζων. καὶ ἀρετὴ μὴ ἀρετῆς, καὶ κακία μὴ κακίας μείζων· τὰ μὲν γὰρ, τέλη· τὰ δ', οὐ τέλη. καὶ ὧν τὰ ἔργα καλλίω, ἢ αἰσχίω, μείζω αὐτά. καὶ ὧν αἱ κακίαι καὶ αἱ ἀρεταὶ μείζους, καὶ τὰ ἔργα μείζω,

A Et cuius efficiens maius itidem: si enim salubre magis eligendum est, quàm iucundum, etiam maius bonum est: & sanitas, quàm voluptas maior. Et quod magis eligendum est per se, quàm quod non per se, vt robur, quàm salubre. Hoc enim non propter se, illud verò propter se, id quod erat bonum. Et, si alterum quidem sit finis: alterum verò non finis. Hoc enim propter illud, at illud propter se, vt exerceri, B vt bene se habeat corpus. Et minus indigens altero, vel alteris. se enim contētum magis. Minus verò indiget, paucioribus vel facilioribus indigens. Et quando vnū quidem sine hoc non sit, vel non possit fieri: alterum verò sine hoc sit, vel possit fieri. Se enim magis contentum est non indigens. Itaque apparet maius bonum esse. Et si vnum principium sit: alterum verò non principium. Et si vnum sit causa: al- C terum verò nó caussa propter idem. Nam sine caussa, vel principio non potest esse, vel fieri. Et ex duobus principiis, quod est à maiore principio, maius est. Et ex duabus caussis quod est à maiore caussa, maius est. Et è controuerso ex duobus principiis maioris principium maius. Et ex duobus causis maioris causa tes maior. Manifestum igitur est ex iis, quæ dicta sunt, quod vtroque modo maius est, & si principium vnum, alterum verò non prin- D cipium, videbitur maius esse: & si vnum non principium: alterum verò principiū. Finis enim maior, & non principium, vt Leodamas dixit accusans Callistratum, eum, qui consuluerit, quàm qui egerit, iniustius egisse: quòd non actum fuisset, nisi cōsuluisset. Rursus verò etiam Chabriam, eum, qui egerit, quàm qui consuluerit, quòd non factum esset, nisi fuisset, qui a- E geret. Nam propter hoc consilium est, vt agant. Et rarius, quàm copiosum, vt aurum, quàm ferrum: cùm minus bonum sit: maior enim est possessio, propterea quòd difficilior sit. Alio autem modo copiosum, quàm rarum: quia vsus superat quod enim sæpe habetur, superat, quod rarò: vnde dicitur, Optima quidem aqua. Et omnino difficilius, quàm facilius, quia rarius. Alio autem modo facilius, quàm F difficilius: se enim habet, vt volumus. Et cui quod est contrarium, maius est. Et cuius priuatio maior. Et virtus quàm non virtus. Et vitiositas, quàm non vitiositas, maius est. Nam illa sunt fines: hæc non fines. Et quorum opera honestiora, vel turpiora sunt, maiora ipsa sunt. Et quorum vitia, & virtutes maiores sunt, etiam opera